# ΕΠΙΓΡΑΜΜΑΤΑ.

1.

Ἐλπίς.

Ὀςέα γῆ κεύθει τῆδ᾽ ἀνέρος οἰνοφίλοιο,
Σημεῖον τερπνȣ̃ ἐσσομένοιο βίȣ.
Πλȣ́σιον εἰ γὰρ μὴ Πλȣ́των᾽ οἴνοιο ἐπείσθη,
Ἦ κέ μιν ἀνθρώπων ȣ̃τις ἔπεισε θανεῖν.

---

2.

Φιάλη.

Δȣρικλυτὸν Ἀχιλῆ᾽, ὅτι Ἕκτορα ἤγγισεν ȣ̃δει
Εἰκόνες, ἠδ᾽ αὐτȣ̃ τιμᾷ Ὁμήρȣ ἔπος.
Ἀλλ᾽ ἐμὲ τίς τιμᾷ; χιλίȣς δ᾽ ἐγὼ ἕκτορας οἴνȣ
Θεῖσ᾽ ἔβαλον τὸ κάρη ἠδὲ ἔκαμψα γόνυ.

---

3.

Χάρις.

Ποιητὴς ἐπὶ σέ, κρήνη, κακὸς ὕδατα χεῦσε
Πολλά, λάλοις χόρδαις σὰς ὅτ᾽ ἄειδε ῥοάς.
Φήμην νῦν δεδιυῖ᾽ ἀχαρίςȣ, βέλτιον ἄλλο
Μηδὲν ἔχοντι πιεῖν ἄφθονος ἀντιδίδως.

---

4.

*Λειμών.*

*Ἠΐθε, ὃς ζητεῖς οἴσων σῇ ἄνθεα κούρῃ,*
*Λειμώνων κάλλει φέρτερος ὅτις ἐμοῦ.*
*Ἥδιστον δέ τοι ἄνθος ἐγώ· στῇ τῇδε γὰρ αὐτή,*
*Τηλόθι τὴν χέρα σου προσδοκόωσα φίλην.*

---

5.

*Θρῆνος ὄρους.*

*Αἰεὶ ἐμῆς κορυφῆς ἄπο ῥεύματα καλὰ ῥέουσιν·*
*Αἱ δὲ φιλοῦσι πόλεως κοῦραι ἀνελθέμεναι.*
*Ὦ δύστηνον ὄρος· καλόν τι ἀεὶ καταπέμπω,*
*Καλὸν ἀτάρ τι ἐμοὶ οὔποτε εἰσανέβη.*

---

6.

*Τὼ ἐργάτα.*

*Ποῖα μέλη τὸ ἄριστον, ὅταν δύο συγγίγνωνται,*
*Ἔργον ῥηϊδίῳ ἐκτελέουσι πόνῳ;*
*Ἢ πόδε, ἢ καὶ χεῖρ', ἢ ὄμματε, ἠὲ καὶ ὦτε;*
*Οὐ μάλα, ἀλλ' ἤτοι νῶϊ δύο στόματε.*

---

## 7.

### Εὐχή.

Κισὸς ἐγὼ χρυσῦ· κύριος δέ μέ ἐςιν ἐραςής,
"Αξιος ἠδ᾽ οἶμαι ἀντεράεσθαι ἔρως.
Τῷ (ὃ γὰρ ἐντὸς ἔχω, οἱ ἀεὶ τὸ πρόσωπον ἀροτρᾷ)
Φίλτατε, σπεῦδ᾽ ἐπιβάς, κλέπτα, με κλεπτέμεναι.

---

## 8.

### Παραμυθία.

"Ημενος εἰν ὄχθῃσιν ἐμῆς, ὅθι ῥεύματα φεύγει,
Δακρύεις ςενάχων, παῖ, βραχύτητα βίυ.
Τοὐμὸν ἄχος καθόρα· δέχεταί σε γὰρ Ἠλυσίυ δῶ,
Ἀλλὰ μέγας περ ἐὼν ἓν μέγα δάκρυ ἐγῷ.

---

## 9.

### Γραφεύς.

Κάλλιον οὔτις ἔγραψεν ἐμῦ, ὐδ᾽ αὐτὸς Ἀπελλῆς,
Οὐδέ τις ἣν τέχνην μᾶλλον ἐμῦ ἐφίλει.
Δάφνιδος ὄμμα γὰρ ὃν λευκοῖσι λίνοισι πανῆμαρ
Ἐγγράφω ἀκαμάτως καλὰ πρόσωπα Χλόης.

---

## 10.

### *Δρῦς.*

*Παῖ, φύλλοις παίζεις ὑπ' ἐμοῖς σκιρτῶν τε γελῶν τε,*
*Οὔτ' αὐτὸς χεύσας δάκρυα, οὔτε ἰδών.*
*Ἀλλ' ὅσ' ἔτη ἐβίωσα, τόσας ἀνὰ Ζηνὶ ἄνακτι*
*Χεῖρας ἐγὼ τείνω εὐχομένη θανέειν.*

---

## 11.

### *Οὖς.*

*Τηλόθεν ᾀδούσης, ὡσεὶ ςίχες οὐρανιώνων,*
*Ἄμβροτα, καλὰ μέλη προςβεβάασιν ἐμοί.*
*Ὡς μέγας εἰμὶ δόμος! ξεινιζέμεναι δ' ἐθέλοιμι*
*Τοίων μυριάδας, δεξάμενος χιλίους.*

---

## 12.

### *Κυβερνήτης.*

*Ἀνέρε, μὴ κατὰ μῦ φρονέειν, ὅτι ςὰς ἐνὶ πλοίῳ*
*Πολλὰ μογῶ περάαν ὔμμε διὰ ποταμοῦ.*
*Οὐ γὰρ ἀεὶ ὔτως μογέω· ἑτέρου δ' ἅμα πάντες*
*Αἶψα κυβερνήτυ κεισόμεθ' ἐν σκάφεϊ.*

---

## 13.

### Χλόη πρὸς ὄρνιθα.

Ἦλθον γὰρ θέλξουσα, φιλοῦσά τε· οὐ σέ γ', οἴω,
Ὧδε ἀποπτάσθαι, μικρέ, μοι, ὄρνι, ἔδει.
Καὶ γὰρ ἐγών, ὅτε Δάφνις ἵκοιτ', ἔτι πλείονα θέλξων,
Οὔποθ' ὅμως οἱ ἔχω οὐ πτέρυγ' οὔτε πόδας.

---

## 14.

### Βοήθεια.

Παῖς ὅδε κλαῖεν, ἐπεὶ πτέρυγι ἕο ἥψατο μυῖα,
Πικρῶς, ἀσβέστως· αὐτίκα δ' αὖ γέλασεν.
Ὦ Ζεῦ ἠδὲ θεοί, νῦν ὄμμασιν εἶδον ἐμοῖσι,
Πλεῖον ὅσῳ πάθε τις, θέλγετέ μιν τάχιον.

---

## 15.

### Χεὶρ τεχνίτου.

Τεχνίτης ὅδε ἦν· τοῦ δ' αὖ χεὶρ μικρὸς Ὄλυμπος,
Πέντε παρ' ἀλλήλοις οὗ ἐκάθηντο θεοί.
Ἀκαμάτως θνητῶν γὰρ ἐπὶ βίον οἶδε χέεσκον
Κάλλος καὶ ῥώμην καὶ χάριν ἀθάνατον.

---

16.

*Σκέψις.*

*Εἰμὶ κακὸν πρόβατον· τὸ δέ σοι παραβάντι λελέχθω·*
*Ψεύδη, φιλοσόφων σκέψιν ἄριςος ἔμεν.*
*Πολλὰ μὲν ἀρνεῖσθαι φιλέεις, ἅμα πολλὰ νομίζεις,*
*Ἀλλ' ἐπὶ πᾶσι λέγω αὐτὸς ἔγωγε τὸ· μή.*

---

17.

*Λύπη.*

*Τῆςδέ ποτ' ἐκ φιάλης κύψαντες ἐπίνομεν ἄμφω*
*Πὰρ σοί, ὦ κρήνη, δένδρῳ ὑπὸ σκιερῷ.*
*Ὕδατα ῥεῖ τὰ παλαιά, ἔκυψά τε ἤδ' ἐκένωσα,*
*Ἡ δέ νυ ἐκ φιάλης ὐκέτι πίνει ἐμῆς.*

---

18.

*Ῥήτωρ.*

*Μή, φίλε, μὴ τόδε κλαῖε, παλαιὺς αἴνῳ ἐπαίρων,*
*Ὡς ὐκ ἠχῦσιν ῥήτορες εἰν ἀγορᾷ.*
*Στάντων εἰν ἀγορᾷ νωῖν, σέθεν ἤτοι ἕκαςον*
*Ῥῆμα νόῳ ἰδίῳ ἐςὶν ἐπιτάφιος.*

---

## 19.

### Ἥλιος.

Ἡμῶν δάκρυα ποῖα λιπὼν ποίους τε στεναγμούς,
Ἥλιε, καββαίνεις οὔρει ἐφ' ἑσπερινῷ!
Ὄλβιε, σοὶ τόδε ἔστι, θανεῖν κατὰ ἦμαρ ἕκαστον,
Ἄθλιε, δεῖ σε βιοῦν ἤματι παντὶ πάλιν.

---

## 20.

### Τυφλός.

Ἦλθεν ἔαρ, οὐ δ' ἦλθεν ἐμοί· λάμπει ὀρέεσσιν
Ἄγκεσι τ' ἠελίου φῶς γλυκύ, οὐ δ' ἄρ' ἐμοί.
Δάκρυ μάκαρ, ζοφόενθ' ὃ καθερπύζεις λιπὸν οἶκον,
Σοὶ γάρ, σοὶ δέδοται πινέμεναι τὸ φάος.

---

## 21.

### Κιθάρα.

Οὔ με, Χλόη, αἰνεῖς, ὡς ἡδείην ὄπα πέμπω
Ἐν χερί σου; αὐτὴ δ' ἡδυτέραν σὺ δίδως.
Ἀλλ' ἄγ', ἐμοὶ τί ποτ' ὧδε παρέστης, ἄθλι' ἐραστά;
Σοὶ γὰρ συμφωνεῖ οὔποτ', ἐμοὶ δ' ἰσαεί.

---

## 22.

### Πρὸς σκώπτριάν τινα.

Καλῶν καλλίςη, τέκνον δὲ κακϑ Σατύροιο,
Εἴ με κέλη, μέλλοντ' ἀτρεκέως ἐρέω.
Αὐτίκα γρηῢς ἔσῃ· ἒκ σοι γὰρ ῥῆμα ἕκαςον,
Ὅ, ττι φύγε ςόμα σϑ, ἐντὸς ὀδόντα φέρει.

---

## 23.

### Σκιά.

Τίς σέγε πέμψε, σκιά, ἵνα μοι ἅμα ὧδε βαδίζοις;
Ἠὲ τί καλὸν ἐμοὶ ἀγγελέϑσα ἵκευ;
Περσεφόνη, ἀΐδαο ἄνασσά, με εἰςανέπεμψεν,
Ὄφρ', οἷός τις ἔσῃ, ὢν ἔτι ζωὸς ἴδῃς.

---

## 24.

### Κύων.

Νυκτί ποτ' ἐν σκιερᾷ κλέπτης κάμε τοῖχον ὀρύττων,
Σῖγά τε ἐν θυμῷ σκῶπτε δόμϑ κύριον·
„Δέσποτα, εἴπ' ἄγε μοι, εἰ σόν νύ γε χρυσὸν ἀποίσω;"
Φωνῇ δ' αὖ μεγάλῃ ἀντὶ κύων λέγεν· ϑ̓.

---

## 25.

### Πρὸς σελήνην.

Δῖα σεληναίη, πόθεν ἔλλαβες ὧδε γλυκεῖαν
Αὐγήν, ἀσβέςυ χάρματος ὧδε πλέαν;
Ἥλιος ἆρα νέος δανεΐζέ σοι; ἠὲ καὶ αὐτή,
Αὐτή, τὴν φρονέω, σοι ἀνέβλεψε νυνί;

---

## 26.

### Ὀδυρμός.

Ἄνθεα, φύλλα, φάος, ζέφυροι, νύξ, ἄςρα, σελήνη,
Ἃς λάβε, χεῖρες ἐμαί, καί, ὃ φίλησε, ςόμα —
Πάντ' αὐτῆς, αὐτῆς γλυκερὰν ἐμοὶ εἰκόνα φαίνει.
Τίπτε, θεοί, αὐτὴν οὔποτ' ἐᾶτε βλέπειν;

---

## 27.

### Νήπιος.

Κόσμησεν μήτηρ τεθνηότα παῖδα ῥόδοισιν·
Τῆς ἕτερος δὲ χαρεὶς ἐγγύθεν ἦςο πάϊς.
Μῆτερ, ἔφη, ἐθέλεις; θάνε μοι, φίλη, ὄφρα καὶ αὐτὴν
Κοσμῶ καὶ ςρώσω ἄνθεα κάλ' ἐπὶ σοί.

---

## 28.

### Ὅμηρος.

Ἐκτὸς νὺξ σ' ἐκάλυψε βαρεῖ'· ὕτ' ἄςεα ἀνδρῶν,
Οὔτε φίλων ἑτάρων ἡδὺ πρόσωπον ἴδες.
Ἐντὸς δ' ἐν ψυχῇ φαιδρῷ ἐβίβασκεν Ἀχιλλεὺς
Ἐν πεδίῳ, μεγάλυ Ἕκτορος ἠδὲ βίη.

---

## 29.

### Ὁμήρου τάφος.

Λείπομεν ἠελίυ γλυκὺ φῶς ἄλλοι μὲν ἅπαντες,
Ὅττε μέλαν πιέσασκ' ὄσσε σκότος θανάτυ.
Σοὶ δ', ω τυφλὲ γέρων, ὑπὸ γῇ ἀνετείλατο φοῖβος,
Δυςήνυ ζοφερὰν νύκτα λιπόντι βίου.

---

## 30.

### Ἄνθος.

Ἄνθος ἴδον παρ' ὁδῷ θαλερόν, μέγα ἔξοχον ἄλλων,
Καὶ φέρω ἁρπάξας νῦν ἐπὶ τῷ πιλίῳ.
Σχέτλιος, ὅς τόδ' ἀπῆρα φίλης, μαλακῆς ἀπὸ ποίης,
Τοίηδ' εἰν ἥβῃ ὧδε νέον θανέειν.

---

## 31.

### Τὸ κοινόν.

Λαμπέμεναι δέμας ἠελίε σέθεν ὄμματά φασι,
Τῶν θαυμαζόντων ὅττ' ἐν ὁμίλῳ ἴοις.
Καὶ γὰρ κοινὸν ἅπασι, κόρη, φάος ἠελίοιο,
Ὅττ' ἐπ' ὄρεσσιν ὁδὲς καὶ πόλεσιν τελέει.

---

## 32.

### Τάφος.

Αἴροντες φίλον ἐξέφερον οἴκοιο ἑοῖο, —
Κάθθεσαν, ἐκ τ' αἴης σώματι σῆμ' ἔχεον.
Ἦιραν τ' ὄσσε, χέρας τ' ἐςάνω· τόδε σφιν τέλος ἦεν,
Ἡμῖν δ' αὖ ἀρχὴ γίγνετο τῦτο γόε.

---

## 33.

### Τὰ ἐναντία.

Φασὶ μέν, ἔχθρ' ἔμεναι καὶ ἐναντία πῦρ τε καὶ ὕδωρ,
Ἀλλά, Χλόη, φίλα μοι εὖ δοκέεσιν ἔμεν.
Δάκρυ γὰρ ὅττε χέοις, πολὺ πλεῖον καίομαι αὐτός,
Ὅττε δ' ἔρωτος ἕλοι φλὸξ σέ γε, δάκρυ χέω.

---

## 34.

### Φόβος.

Θέσθε, θεοί, πτερόεντα βραχίονος ἀντί, πρὸς αὐτὴν
"Οφρ' ἔλθω· μάλα γὰρ τῆλέ μοί ἐςι Χλόη.
Ἀλλὰ δέδοικ' αὐτήν· μὴ θέσθε, θεοί· ἀποκόψει
Προςπταμένε δολεροῖς τῷ ξυρίῳ πτέρυγας. —

---

## 35.

### Ῥόδον.

Πολλὰ φιλῶ σε, Χλόη· σπεῖρας γάρ ἔμ', ἠδὲ κατ' ἦμαρ
Τρὶς χερὶ τῇ μαλακῇ ὕδατά μοι ἔφερες.
Νῦν δὲ καλὸν γεγονός μ' ἀπὸ αἱρεῖς ἠδ' ἀποπέμπειν
Βέλεαι· ἀλλ' ἄγε δὴ Δάφνιδι πέμπε φίλῳ.
"Ην γὰρ Δάφνις ἔχῃ, τότε δὴ ἔσομαι, μέγ' ἀρίςη,
Τρὶς παρὰ σοί, πρὶν ἅπαξ δῦ φάος ἠελίε.

---

## 36.

### Τὸ ὑπὸ χαρᾶς δάκρυ.

Δηλεῦντες φθονεράν τ' αἶσαν, μόρον ἠδ' ἀβέβαιον,
Δάκρυ θεοὶ μεγάλῳ χάρματι προςκρέμασαν.

---